τῆς χήρας υἱόν· καὶ οἱ νεκροὶ μὲν ἀκούοντες, ἡ παῖς ἔγειρου· καὶ νεανίσκε
σοὶ λέγω ἐγέρθητι, παραχρῆμα ἤκουον· καὶ τὸ φῶς ἐξ ὑπαρχῆς ἔβλεπον·
οἱ δὲ καὶ οὕτως οὐκ ἔβλεπον βλέποντες· οὐδ' ἀκούοντες ἤκουον. διὰ ταῦτα
καὶ τεχνάζεται οἷα τι φάρμακον ἰσχυρότερον, τὴν περὶ τὸν Λάζαρον
καινοτάτην θαυματουργίαν προσήγαγεν. ἐκ τάφου μὲν γὰρ τεθνηκότας,
εὐθὺς ἀνέστησε. τὸν δὲ μετὰ τὸ ὀζέσαι καὶ ἤδη εὑρίσκεσθαι ἀναλυόμενον
ἐκ τῆς ζωῆς καὶ συντεθάφθαι. κἀκεῖ μὲν ἥπτατο τῆς σοροῦ τοῦ νεανίσκου καὶ
τῆς χειρὸς τῆς παιδὸς διὰ τῆς ἀφῆς τοῦ ζωοποιοῦ σώματος μεταδιδοὺς
τῆς ἀναβιώσεως· ἐνταῦθα δὲ τῇ φωνῇ μόνῃ πρὸς τὴν ζωὴν ἐπανήγαγε.
φωνῇ, ἧς ὁ μὲν ἰουδαϊκὸς λαὸς, οὐκ ἤκουεν· ἵνα θάνατος κατὰ τὸν Δαβὶδ
ποιμανῇ αὐτούς· ὡς πρόβατα γὰρ αὐτοὺς ἐν ᾅδῃ διὰ τὴν πώρωσιν
αὐτῶν ἔθετο. Λάζαρος δὲ οἷα πρόβατον τοῦ Χριστοῦ, τῆς φωνῆς τοῦ ποιμένος
ἀνακλητικὸν φωνοῦντος εὐθὺς ᾔσθετο· καὶ τῶν τοῦ ᾅδου βαράθρων ἀφέμενος,
ἐπανῆλθε πρὸς τὸν καλέσαντα· καὶ ἐπὶ μέσον τῶν μὲν ἀδύνατα ἐπιχειρίζοντο
τὸν δὲ κύριον μὲν ἀσθενείας οἷα περὶ τιμῆς διενίσταντο, ἐναργέστερον
ἑαυτὸν ἐμφανίζεσθαι ἤμελλον· πεπαρρησιασμένως θείαν βολὴν,
καὶ προσοδοιπορῶν βασιλικώτερον· καὶ παραγγελθέντων θηλαζόντων νηπίων
ἐπιγνώμονα τοῦ οἰκείου δεσπότου· καὶ διαμαρτυρομένων ὡς σὺ εἶ ὁ ἐρχόμενος
ὁ φυλάξας τῶν νηπίων κς. οὐ Δαβὶδ μὲν ἐκ στόματος νηπίων καὶ θηλαζόντων
αἶνον καταρτίσασθαι προεφήτευσε. Ζαχαρίας δὲ βασιλέα τῆς Σιὼν
πρόδηλον ἠγόρευσε, πραῢν καὶ σώζοντα· καὶ ἐπὶ ὄνου ὀχούμενον. τῶν δὲ
φαρισαίων καὶ γραμματέων κάλυμμα ἐχόντων ἐπὶ τὴν καρδίαν
ἐν τῷ ἀναγινώσκειν τοὺς προφήτας καὶ τὸν Μωσῆν· καὶ τὴν κλεῖδα κατεχόντων
τῆς γνώσεως· καὶ μὴ μόνον αὐτῶν οὐκ εἰσερχομένων εἰς τὴν βασιλείαν
τοῦ θεοῦ· ἀλλὰ καὶ τοὺς βουλομένους εἰσελθεῖν κωλυόντων, ἐξηγητικὰ
τῶν περὶ Χριστοῦ προρρήσεων τὰ νήπια γίνονται στόματα· καὶ τὰ
ψελλιζόμενα καὶ ἀσαφῆ τῶν γραφῶν, οἷα γλωττοῖ παῖδες διαρθροῦσι